Permalink: http://gams.uni-graz.at/o:ethnos.359

# Str. 9,1,18 = 397,1

| | |
|---|---|
| Title | Geography |
| Author | Strabo |
| Date | 1st Cen.B.C.-1st Cen.A.D. |
| Original text | Πολὺ δ’ ἂν πλείων εἴη λόγος, εἰ τοὺς ἀρχηγέτας τοῦ κτίσματος ἐξετάζοι τις ἀρξάμενος ἀπὸ Κέκροπος· οὐδὲ γὰρ ὁμοίως λέγουσιν ἅπαντες. τοῦτο δὲ καὶ ἀπὸ τῶν ὀνομάτων δῆλον· Ἀκτὴν μὲν γὰρ ἀπὸ Ἀκταίω- νος φασίν, Ἀτθίδα δὲ καὶ Ἀττικὴν ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ, ἀφ’ οὗ καὶ Κραναοὶ οἱ ἔνοικοι, Μοψοπίαν δὲ ἀπὸ Μοψόπου, Ἰωνίαν δὲ ἀπὸ Ἴωνος τοῦ Ξούθου, Ποσειδωνίαν δὲ καὶ Ἀθήνας ἀπὸ τῶν ἐπωνύμων θεῶν. εἴρηται δ’ ὅτι κἀνταῦθα φαίνεται τὸ τῶν Πελασγῶν ἔθνος ἐπιδημῆσαν, καὶ διότι ὑπὸ τῶν Ἀττικῶν Πελαρ- γοὶ προσηγορεύθησαν διὰ τὴν πλάνην. |
| Source | S. Radt, Strabons Geographika, Bd. 3, Buch IX-XIII. |
| Source of translation | S. Radt, Strabons Geographika, Bd. 3, Buch IX-XIII. |
| Instances | Apollod. 1,49; Str. 8,7,1.Plb. 2,41,4f; Plb. 4,1,5; Paus. 7,1,2-4 |
| Descriptor | Tribal name |
| Coverage | Attica |
| Ethnic Groups | Ionians, Pelasgians |
| Editor | Margit Offenmüller |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |